ἁγίῳ σου;
Πορευόμενος ἄμωμος, καὶ ἐργαζόμενος δικαιο-
σύνην, Λ
Λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ, ὃς οὐκ
ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ.
Καὶ οὐκ ἐποίησε τῷ πλησίον αὐτοῦ κακόν,
καὶ ὀνειδισμὸν οὐκ ἔλαβεν ἐπὶ τοῖς ἔγγιστα αὐτοῦ.
Ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος,
τοὺς δὲ φοβουμένους τὸν κύριον δοξάζει.
Ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ καὶ οὐκ ἀθετῶν,
τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, καὶ
δῶρα ἐπ᾽ ἀθώοις οὐκ ἔλαβεν.
Ὁ ποιῶν ταῦτα, οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα.

Στηλογραφία τῷ Δαβίδ. ψ ιε΄.

Φύλαξόν με κύριε ὅτι ἐπὶ σοὶ ἤλπισα,
εἶπα τῷ κυρίῳ, κύριός μου εἶ σύ, ὅτι
τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις.
Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστω-
σεν ὁ κύριος πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.
Ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν, μετὰ
ταῦτα ἐτάχυναν.
Οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν

ἐξ αἱμάτων

http://digital.slub-dresden.de/ppn346241804/40